Iokasta asks her son Polyneices what it feels like to be deprived of one's own fatherland

Ἰοκάστη	τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;
Πολυνείκης	μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.
Ἰοκάστη	τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
Πολυνείκης	ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
Ἰοκάστη	δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.
Πολυνείκης	τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
Ἰοκάστη	καὶ τοῦτο λυπρόν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
Πολυνείκης	ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
Ἰοκάστη	αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
Πολυνείκης	καλοῖς βλέπουσαί γ' ὄμμασιν, μέλλουσι δέ.
Ἰοκάστη	οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὖσας κενάς;
Πολυνείκης	ἔχουσιν Ἀφροδίτην τιν' ἡδεῖαν κακῶν.
Ἰοκάστη	πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
Πολυνείκης	ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.
Ἰοκάστη	φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
Πολυνείκης	εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἤν τι δυστυχῇς.

Euripides Phoenissae 388-403

1B 2 2010

παρρησία, -ας ἡ - freedom of speech

Ἀφροδίτην - here 'desire', 'longing'